# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: jqa-ab

*Νικαίνετος ὁ Σάμιος* · Nicaenetus of Samos

## Epigrams

*Ἐπιγράμματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

book 225.1.1 Ἡρῷσσαι, Λιβύων ὄρος ἄκριτον αἵτε νέμεσθε
book 225.1.2 αἰγίδι καὶ στρεπτοῖς ζωσάμεναι θυσάνοις,
book 225.1.3 τέκνα θεῶν, δέξασθε Φιλήτιδος ἱερὰ ταῦτα
book 225.1.4 δράγματα καὶ χλωροὺς ἐκ καλάμης στεφάνους,
book 225.5.1 ἅσσ' ἀπὸ λικμητοῦ δεκατεύεται· ἀλλὰ καὶ οὕτως,
book 225.5.2 ἡρῷσσαι, Λιβύων χαίρετε δεσπότιδες.
book 502.1.1 Ἠρίον εἰμὶ Βίτωνος, ὁδοιπόρε· εἰ δὲ Τορώνην
book 502.1.2 λείπων εἰς αὐτὴν ἔρχεαι Ἀμφίπολιν,
book 502.1.3 εἰπεῖν Νικαγόρᾳ, παίδων ὅτι τὸν μόνον αὐτῷ
book 502.1.4 Στρυμονίης Ἐρίφων ὤλεσε πανδυσίη.
book 29.1.1 „Οἶνός τοι χαρίεντι πέλει ταχὺς ἵππος ἀοιδῷ·
book 29.1.2 ὕδωρ δὲ πίνων οὐδὲν ἂν τέκοις σοφόν."
book 29.1.3 τοῦτ' ἔλεγεν, Διόνυσε, καὶ ἔπνεεν οὐχ ἑνὸς ἀσκοῦ
book 29.1.4 Κρατῖνος, ἀλλὰ παντὸς ὠδώδει πίθου.
book 29.5 τοιγὰρ ὑπὸ στεφάνοις μέγας ἔβρυεν, εἶχε δὲ κισσῷ
book 29 μέτωπον ὥσπερ καὶ σὺ κεκροκωμένον.
book 191.1.1 Αὐτόθεν ὀστράκινόν με καὶ ἐν ποσὶ γήινον Ἑρμῆν
book 191.1.2 ἔπλασεν ἁψῖδος κύκλος ἑλισσόμενος.
book 191.1.3 πηλὸς ἐφυράθην, οὐ ψεύσομαι. ἀλλ' ἐφίλησα,
book 191 ὦ ξεῖν', ὀστρακέων δύσμορον ἐργασίην.